# ARISTODICUS

## I

*Δαμὼ καὶ Μάθυμνα τὸν ἐν τριετηρίσιν †ἦρα*
*εὔφρονα λυσσατὰν ὡς ἐπύθοντο νέκυν,*
*ζωὰν ἀρνήσαντο, τανυπλέκτων δ' ἀπὸ μιτρᾶν*
*χερσὶ δεραιούχους ἐκρεμάσαντο βρόχους.*

## II

*οὐκέτι δή σε λίγεια κατ' ἀφνεὸν Ἀλκίδος οἶκον,*
*ἀκρί, μελιζομέναν ὄψεται ἀέλιος,*
*ἤδη γὰρ λειμῶνας ἔπι Κλυμένου πεπότησαι*
*καὶ δροσερὰ χρυσέας ἄνθεα Περσεφόνας.*

# ARISTON

## I

*χύτρον τοι ταύταν τε κρεαγρίδα καὶ βαθυκαμπῆ*
*κλεῖδα συῶν καὶ τὰν ἐτνοδόνον τορύναν*
*καὶ πτερίναν ῥιπῖδα τὸν εὔχαλκόν τε λέβητα*
*σὺν πελέκει καὶ τὰν λαιμοτόμον σφαγίδα*